## Τόμος προαγωγῆς τῆς ἐπισκοπῆς Παραμυθίας εἰς μητρόπολιν [2].

† Ἄνθιμος, ἐλέῳ Θεοῦ κλπ.

Ταῖς προσαγομέναις αἰτήσεσι τῶν εὐσεβῶν, ὅσαις τὸ δίκαιον καὶ εὔλογον συμπαρομαρτεῖ, προφρόνως συναινεῖ ἡ ἁγία Μήτηρ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, καὶ ταύτας εὐμενῶς ἐγκρίνει καὶ ἀποδέχεται, τὴν πνευματικὴν τούτων ὠφέλειαν καὶ τὴν ἐν πᾶσιν ἀγαθοῖς ἔργοις ἐπίδοσιν καὶ εὐημερίαν περὶ πλείστου ποιουμένη ἐν τῇ μητρικῇ αὐτῆς στοργῇ καὶ ἀγάπῃ, καθὰ δὴ τορῶς ἐμφαίνεται καὶ ἐν τῇδε τῇ Ἐκκλησιαστικῇ Πράξει. Ἀνενεχθέντες γὰρ ἔναγχος τῇ ἡμῶν μετριότητι διὰ τῶν ἀντιπροσώπων αὐτῶν οἱ εὐσεβεῖς χριστιανοὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Παραμυθίας, τέως ὑπαγομένης ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Ἰωαννίνων δι' ἐνυπογράφου καὶ ἐνσφραγίστου αὐτῶν ἀναφορᾶς μηνολογουμένης ἀπὸ ι'. Ἀπριλίου σωτηρίου ἔτους ͵αωἡ ε'. ἐδεήθησαν θερμῶς καὶ τὴν ἐκκλησιαστικὴν ᾐτήσαντο ἐπίνευσιν, ἵνα ἡ ἐπαρχία καὶ πατρὶς αὐτῶν, ὑποτελὴς τέως τῇ διαληφθείσῃ μητροπόλει, προαχθῇ εἰς μητρόπολιν ἐξαρτωμένην ἀπ' εὐθείας ἀπὸ τοῦ ἡμετέρου ἁγιωτάτου ἀποστολικοῦ καὶ Οἰκουμενικοῦ Πατριαρχικοῦ Θρόνου κατὰ τὸ ἀξιόζηλον παράδειγμα καὶ ἑτέρων Ἐπισκοπῶν τῆς αὐτῆς ἀξιωθεισῶν ἐκκλησιαστικῆς χάριτος καὶ τιμῆς· τοσούτῳ δὲ μᾶλλον ἐνέκειντο τῇ παρακλήσει, ὅσῳ διεβεβαίουν ὅτι τῆς ἐπαρχίας αὐτῶν ἐπεκτεινομένης εἰς εὐρύτατον χῶρον καὶ περιλαμβανούσης πολλὰ διοικητικὰ τμήματα, αἱ ἐπαρχιακαὶ καὶ κοινοτικαὶ αὐτῶν ὑποθέσεις οὐκ ὀλίγον προσέκοπτον, τῆς τέως κυριάρχου μητροπόλεως μὴ ἐπαρκούσης εἰς λυσιτελῆ τούτων προστασίαν καὶ ἐπισκόπησιν. Καὶ ταῦτα μὲν οἱ ἀνενεχθέντες ἐξελιπάρουν πολλὰ προσδοκῶντες τὰ ἀγαθὰ ὑπὲρ τῆς χώρας αὐτῶν ἐκ τῆς ἀμέσου ἐξαρτήσεως ἀπὸ τοῦ αὐτῆς ἐκκλησιαστικοῦ κέντρου. Ἡμεῖς δὲ σκεψάμενοι συνοδικῶς καὶ τὴν αἴτησιν αὐτῶν εὔλογον καὶ δικαίαν κρίναντες, δεῖν ἔγνωμεν, πολλοῖς τοῖς παραδείγμασιν ἀρχαίοις τε καὶ νεωτέροις ἑπόμενοι, τιμῆσαι καὶ ἀνυψῶσαι τὴν ἐπισκοπὴν ταύτην εἰς μητρόπολιν καὶ καθυπαγαγεῖν ὑπὸ τὴν ἄμεσον ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ Οἰκουμενικοῦ Θρόνου, μηδεμίαν ἐφεξῆς ἐχούσης ἐν αὐτῇ δικαιοδοσίαν καὶ ἐξουσίαν τῆς ἁγιωτάτης μητροπόλεως Ἰωαννίνων. Καὶ δὴ γράφοντες ἀποφαινόμενα Συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ τέως ἐπισκοπὴ Παραμυθίας διὰ τοὺς προεκτεθέντας ἀποχρῶντας λόγους ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γιγνώσκηται μητρόπολις τοῦ καθ' ἡμᾶς ἁγιωτάτου Οἰκουμενικοῦ Θρόνου, αὐτῷ μόνον ὑποκειμένη κανονικῶς καὶ πρὸς αὐτὸν σχέσιν καὶ

---

2) *Κώδ.* Π. Ἀρχ. ΞΖ'. 487.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἀναφορὰν ἔχουσα, ὁ δὲ ἐν αὐτῇ ἀρχιερατεύων κύριος Λεόντιος τιτλοφορῆται *Ἱερώτατος Μητροπολίτης Παραμυθίας καὶ ὑπέρτιμος*, καθάπερ καὶ οἱ τοῦτον διαδεξόμενοι, μνημονεύων ὡς νενόμισται τοῦ κανονικοῦ Πατριαρχικοῦ ὀνόματος καὶ συναριθμούμενος ἑβδομηκοστὸς ἕβδομος τῇ τάξει ἐν τῇ χορείᾳ τῶν λοιπῶν ἱερωτάτων μητροπολιτῶν, οἷος καὶ ἐν τῷ Συνταγματίῳ ἐγγέγραπται, ἔχων ἅμα οὗτός τε καὶ οἱ τούτου διάδοχοι τὴν στάσιν καὶ ἕδραν τὴν ὁρισθεῖσαν αὐτῷ ἐν ταῖς ἐκκλησιαστικαῖς Συνελεύσεσι καὶ χοροστασίαις, ποιμαίνων θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογῶν καὶ ἁγιάζων αὐτὸ καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελῶν καθήκοντα μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ Συνθρόνῳ ἐγκαθιδρύσεως, ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ διατελοῦντες εὐλογημένοι χριστιανοὶ ἱερωμένοι καὶ λαϊκοὶ ἀναγνωρίζειν τὴν αὐτοῦ ἱερότητα μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως ταύτης, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν καιρῷ τῆς τῶν ἔργων ἀνταποδόσεως. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται Συνοδικῶς· καὶ εἰς ἔνδειξιν ἐγένετο ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος καταστρωθεὶς καὶ ἐν τῷ τῆς καθ' ἡμᾶς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἱερῷ τῶν ὑπομνημάτων Κώδικι, ἀντίγραφον δ' αὐτοῦ ἀπεστάλη καὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Παραμυθίας ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῖν ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Λεοντίῳ.

*Ἐν ἔτει σωτηρίῳ αωϟε'. κατὰ μῆνα Ἰούνιον, Ἐπινεμήσεως Η'.*

† *Ὁ Πατριάρχης Κωνσταντινουπόλεως* ἀποφαίνεται

| | |
|---|---|
| † Ὁ Κυζίκου *Νικόδημος* | † Ὁ Αἴνου *Δουκᾶς* |
| † Ὁ Νικομηδείας *Φιλόθεος* | † Ὁ Μηθύμνης *Νικηφόρος* |
| † Ὁ Νικαίας *Ἱερώνυμος* | † Ὁ Γρεβενῶν *Κλήμης* |
| † Ὁ Προύσης *Ναθαναήλ* | † Ὁ Ἐλασσῶνος *Νικόδημος* |

*Παΐσιος Δημάρης*, προαχθεὶς εἰς ἐπίσκοπον «Παραμυθίας καὶ Βουθρωτοῦ» κατὰ τὸ ἔτος 1775 ἢ μετ' αὐτό»[3].

*Ἄνθιμος*, πιθανῶς διαδεχθεὶς τὸν *Παΐσιον*. Ἀναφέρεται τῇ 28 Φεβρ. 1785 (ὡς «Παραμυθίας καὶ Πάργας») καὶ τῇ 27 Δ]βρ. 1792[4].

*Χρύσανθος*, ἀναφερόμενος τῷ 1799 (ὡς «Βουθρωτοῦ καὶ Γλυκέως»), τῇ 1 Σ/βρ. 1799 καὶ τῇ 7 Ἰουλίου 1808 (ὡς «Παραμυθίας»)[5].

---

3) *Ἠπ. Χρ.* Γ'. 156.—*Ἐκκλ. Ἀλ.* Δ'. 386.—*Σάθα* Νεοελλ. φιλολ. σ. 482.—*Μ. Ε. Ἐγκ.* ΙΘ'. 400.

4) *Ἠπειρ. Χρ.* ΣΤ'. 31.—*Περιοδ.* Ε. Φ. Συλλ. ΚΠόλεως τόμ. ΚΖ'. 308, 311, 312.

5) *Νέος Ποιμὴν* περιοδ. ἐν ΚΠόλει τόμ. Γ'. (1921) σ. 415.—*Κώδ.* ΙΔ'. 30.



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

*Προκόπιος*, πιθανῶς διαδεχθεὶς τὸν *Χρύσανθον*. Ἀναφέρεται τῇ 22 Μαΐου 1808. Ἀναφέρεται ὡς πρ. Παραμυθίας κατὰ Ἰούλιον 1833[6].

*Ἀμβρόσιος*, ἀναφερόμενος τῇ 14 Ἀπρ. 1813 καὶ τῇ 12 Μαΐου 1817[7].

*Νεόφυτος*, ἀναφερόμενος τῇ 1 Ἰανουαρίου τοῦ 1822. Τούτου προαχθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Ἄρτης κατὰ 8/βριον 1826[8] ὁ ἱερομόναχος *Ἀγάπιος*, ἀναφερόμενος τῇ 4 Αὐγ. 1827[9].

*Ἀγαπίου* «πρὸς Κύριον ἐκδημήσαντος καὶ εἰς τὰς οὐρανίους μονὰς μεταστάντος» — ἐξελέγη (27 Μαΐου 1849) «ὁ θεοφιλ. ἐπίσκοπος Εὐδοξιάδος κύριος *Διονύσιος*, τῶν κανονικῶν ψήφων διενεργηθεισῶν, κατὰ πατριαρχ. καὶ συνοδ. ἄδειαν, καὶ μετὰ γνώμην τοῦ μ. Ἰωαννίνων καὶ Βελλᾶς Ἰωαννικίου, ἐν τῷ ἐν Ἰωαννίνοις μητροπολιτικῷ ναῷ τοῦ ἁγίου Ἀθανασίου τοῦ Μεγάλου ὑπὸ τῶν ἐπισκόπων Περιστερᾶς Σεραφεὶμ καὶ Ἀπολλωνιάδος Χριστοφόρου[10].

*Διονυσίου* «διὰ τοὺς ἐν τοῖς πρακτικοῖς τῆς ἱ. συνόδου ἐκτιθεμένους εὐλόγους καὶ νομίμους λόγους παυθέντος καὶ τέλεον ἀπομακρυθέντος»—ἐξελέγη (14 Ἰουνίου 1869) ὁ «ὁσιολογιώτ. ἐν ἱεροδιακόνοις κὺρ *Ἄνθιμος*», γνώμῃ τοῦ μ. Ἰωαννίνων Σωφρονίου[11].

*Ἀνθίμου* «μετατεθέντος καὶ προβιβασθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτάτης μ/λεως Αἴνου» — ἐξελέγη (25 8/βρ. 1877) ὁ «πανοσιολ. πρωτοσύγκελλος κὺρ *Γρηγόριος*», γνώμῃ τοῦ μ. Ἰωαννίνων Σωφρονίου[12].

*Γρηγορίου* «μετατεθέντος καὶ προβιβασθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Ἀγχιάλου» — ἐξελέγη (Ἰανουάρ. 1885) ὁ «ὁσιολογιώτ. Μ. Ἀρχιδιάκονος κὺρ *Ἰωάννης*», γνώμῃ τοῦ μ. Ἰωαννίνων Σωφρονίου[13].

*Ἰωάννου* «μετατεθέντος εἰς τὴν ἁγιωτάτην μ/λιν Δισκάτης» — ἐξελέγη (12 Αὐγ. 1893) ὁ «θεοφιλ. ἐπίσκοπος Κίτρους κὺρ *Λεόντιος*», γνώμῃ τοῦ μ. Ἰωαννίνων Γρηγορίου[14].

*Λεοντίου* «προαχθέντος εἰς τὸν θρόνον τῆς μ/λεως Φιλαδελφείας» — ἐξελέγη μητροπολίτης (13 Φεβρ. 1896) ὁ «πανοσιολογ. Μ. Ἀρχιδιάκονος κὺρ *Κωνσταντῖνος*»[15].

---

6) *Περιοδ.* Ε. Φ. Συλλ. ὡς ἀνωτ. σ. 311, 312—*Κ. τοῦ ἐξ Οἰκονόμων* τὰ σωζόμενα Β'. 168.

7) *αὐτόθι* σ. 311, 312.

8) *αὐτόθι* σ. 309, 311, 312.—*Κώδ.* Π. Ἀρχ. ΙΔ'. 108.

9) *Περιοδ.* ὡς ἀνωτ. σ. 310, 312.

10) *Ἠπ. Χρ.* ΣΤ'. 29.

11) *Κώδ.* ΞΖ' 50.

12) ΞΖ'. 206.

13) ΞΖ'. 306.

14) ΞΖ'. 454.

15) ΞΖ'. 508.

ΕΡΓΑΣΤΗΡΙΟ ΑΝΤΙΓΡΑΦΗΣ ... ΙΩΑΝΝΙΝΑ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

*Κωνσταντίνου* «προαχθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Γάνου καὶ Χώρας»—ἐξελέγη (27 Σ/βρ. 1897) ὁ «πανιερ. μ/της Λιτίτσης κὺρ *Βασίλειος*»[16].

*Βασιλείου* «προαχθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Βελεγράδων»—ἐξελέγη (12 Φεβρ. 1900) ὁ «πανιερ. μ. Κώου κὺρ *Καλλίνικος*»[17].

*Καλλινίκου* «τὸ ζῆν ἐκμετρήσαντος καὶ πρὸς τὰς οὐρανίους μονὰς μεταστάντος»—ἐξελέγη (3 8/βρ. 1906) ὁ «πανοσιολογ. Δευτερεύων κὺρ *Ἱερόθεος*»[18].

*Ἱεροθέου* «προαχθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Σισανίου καὶ Σιατίστης»—ἐξελέγη (30 Μαΐου 1909) «ὁ πανιερ μ. Βάρνης κὺρ *Νεόφυτος*»[19].

*Νεοφύτου* «μετατεθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Σουφλίου»—ἐξελέγη (9 8/βρ. 1924) ὁ «πανιερ. μ. Βελεγράδων κὺρ *Ἰωακείμ*»[20].

*Ἰωακεὶμ* «μετατεθέντος εἰς τὸν θρόνον τῆς ἁγιωτ. μ/λεως Νέας Πελαγωνείας»—ἐξελέγη (3 Σ/βρ. 1925) ὁ «πανοσιολογ. τέως Μ. Πρωτοσύγκελλος κὺρ *Ἀθηναγόρας*»[21].

*Ἀθηναγόρα* παραίτησιν οἰκειοθελῆ ὑποβαλόντος τῇ Ἐκκλησίᾳ—ἐξελέγη (Ν/βρ. 1932) ὁ πανιερ. μ. Θάσου κύριος *Γεώργιος* ὑπὸ τὸν τίτλον «*Παραμυθίας, Φιλιατῶν καὶ Γηρομερίου*»[22].

## 16) ΠΩΓΩΝΙΑΝΗ

«Ἡ ἐν τῇ Πωγωνιανῇ ἀρχιεπισκοπῇ οὐκ ἦτον, ἀλλὰ πρωτοπαπᾶς ἦν ὑποτασσόμενος τῷ ΚΠόλεως Πατριάρχῃ καὶ καθεζόμενος ἐν τῷ σταυροπηγίῳ Πωγωνιανῆς, ἐν ᾧ ἔστι βασιλικὴ μονὴ εἰς ὄνομα τιμώμενον τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου». Τὸ πρῶτον ἀναφέρεται ἡ ἀρχιεπισκοπὴ Πωγωνιανῆς μεταξὺ τῶν ὀκτὼ ἀρχιεπισκοπῶν τοῦ οἰκουμ. θρόνου ἐν τῇ μετὰ τὴν ἅλωσιν τῆς ΚΠόλεως ἰσχυσάσῃ ἀναγραφῇ τῶν ἐπαρχιῶν τοῦ πατριαρχ. θρόνου ΚΠόλεως. Κατὰ Μάρτιον 1828 ἡνώθη τῇ ἐπαρχίᾳ Κορυτσᾶς, ἀποτελεσθείσης οὕτω τῆς *μητροπόλεως Κορυτσᾶς καὶ Πωγωνιανῆς*. Ἀποσπασθεῖσα τῆς Κορυτσᾶς συνηνώθη κατὰ Μάϊον 1834 τῇ ἐπαρχίᾳ Βελλᾶς, ἀποτελεσθείσης οὕτω τῆς *μ/λεως Βελλᾶς καὶ Πωγωνιανῆς*. Διαλυθείσης

16) Φια'. 16.
17) Φια'. 52.
18) Φια'. 148.
19) Φια'. 191.
20) Φοθ'. 45.
21) Φοθ'.
22) *Ὀρθοδοξία* Ζ'. (1932) σ. 428.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

τῷ 1842 τῆς συνενώσεως τῶν δύο τούτων ἐπαρχιῶν, παρέμεινεν ἐφεξῆς μόνη ἡ μητρόπολις αὕτη Πωγωνιανῆς μέχρι τῆς διαλύσεως αὐτῆς καὶ συγχωνεύσεως μετὰ τῶν γειτόνων ἐπαρχιῶν Κορυτσᾶς καὶ Βελλᾶς, κατὰ Μάϊον 1863. Κατὰ Ν/βριον 1924 ὡρίσθη ὅπως ἡ ὑποδιοίκησις Πωγωνίου ἀποτελέσῃ τὴν μ/λιν *Δρυϊνουπόλεως καὶ Πωγωνιανῆς* [1].

***

## Τόμος ἑνωτικὸς τῆς μητροπόλεως Πωγωνιανῆς μετὰ τῆς μητροπόλεως Κορυτσᾶς

*Ἀγαθάγγελος ἐλέῳ Θεοῦ κλπ.*

Ἡ μὲν θεραπευτικὴ μέθοδος διὰ τῆς συνθέσεως τῶν ἁπλῶν πολλάκις τοῖς ἀσθενέσι παρέχεται ἴασιν καὶ εὔτονον ἀποτελεῖ τῶν πρώην ἐκλελυμένων σωμάτων τὴν κίνησιν· ἡ δὲ κατὰ πνευματικὴν ἐπιστήμην ἀκροτάτη διοίκησις διὰ τῆς ἑνώσεως πολλάκις δύο διῃρημένων παροικιῶν καὶ ὑφ' ἕνα καὶ τὸν αὐτὸν προστάτην κανονικῆς ἐπισκέψεως τὴν σωτηριώδη κατάστασιν τῶν ὀρθοδόξων μελῶν τῆς Ἐκκλησίας ποιεῖται εὔρυθμόν τε καὶ κατὰ λόγον τὴν διεξαγωγὴν τῶν ἐπαρχιῶν ἀναδείκνυσι κατάλληλον ἐπείγουσα τὴν θεραπείαν· πάντα γὰρ πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν γίνεσθαι καὶ ὁ ἀποστολικὸς ἀποφαινόμενος λόγος εἰς αὐτὸ τοῦτο προάγει καὶ διατίθησι τοὺς τὴν ἐκκλησιαστικὴν προστασίαν θείᾳ νεύσει ἀνεζωσμένους. Τοιαύτῃ τινὶ οἰκονομίᾳ ἔγνωμεν καὶ ἤδη ἐν δέοντι χρήσασθαι περὶ τῶν ἐφεξῆς δύο ἐπαρχιῶν *Κορυτσᾶς* καὶ *Πωγωνιανῆς*, τῶν ὑποκειμένων τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ· ἀμφότεραι γὰρ διῃρημέναι οὖσαι ἀνέκαθεν καὶ ἴδιον ἔχουσαι ἑκατέρα κυριάρχην πνευματικόν, ἡ μὲν ὡς μητρόπολις τετιμημένη, ἡ δὲ ἀρχιεπισκοπικὴν τάξιν λαχοῦσα, ἀδυνάτως εἶχον εἰς διατροφὴν τοῦ ἰδίου αὐτῶν ἀρχιερέως καὶ περίθαλψιν διὰ τὸ γλίσχρον πάνυ καὶ ὀλιγοπρόσοδον αὐτῶν. Καὶ ἡ μὲν Κορυτσᾶ καὶ πρότερον ἐν μετρίᾳ πως καταστάσει τυγχάνουσα, ὅσον ἀποζεῖν τὸν οἰκεῖον αὐτῆς ἀρχιερέα, ἐπὶ τὸ χεῖρον ἤδη ἐξετράπη διὰ τὰς ἐπενεχθείσας καιρικὰς περιστάσεις καὶ ἀνωμαλίας, ὧν ἕνεκα τὰ μὲν εἰσοδήματα αὐτῆς ἐλαττωθῆναι καὶ ἐκλείπειν κατὰ μικρόν, τὰς δὲ ἀναγκαίας καὶ ἀφυήτους δόσεις καὶ δαπανήματα πολλῷ τῷ μέτρῳ πολλαπλασιασθῆναι συνέβη· ἡ δὲ τῆς Πωγωνιανῆς ἀρχιε-

---

1) G e l z e r Ungedr. σ. 630.—*Ἀρχ. Χρυσ. Παπ.* αἱ ἐπαρχίαι κλπ. σ. 24.—*Χρυσ. Ἱερ.* συνταγμάτιον σ. 74.—*Ὀρθοδ.* Γ'. 235.—L e Q u i e n I σ. 93.—*Γεδεὼν* Π. Πίν. σ. 689, 691, 697, 702.—*Μ. Ε. Ἐγκ.* Κ'. 950.—*Ἠπειρωτ. Χρονικὰ* Η'. 141, 143.—L e Q u i e n II'. 93.

2) *Κώδ.* Π. Ἀρχ. ΙΔ'. 140.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

πισκοπὴ ἔκπαλαι ἀδύνατος διετέλει καὶ πάντη ἀνίκανος πρὸς τὴν ἀναγκαιοτάτην κυβέρνησιν τοῦ κυριάρχου αὐτῆς, ὥστε καὶ τὸν ὑπὲρ τὰ τριάκοντα ἔτη ἐν αὐτῇ ἀρχιερατεύσαντα καὶ τὸ ζῆν ἐκμετρήσαντα πρὸ μικροῦ κὺρ *Διονύσιον* διὰ τὴν τοιαύτην αὐτῆς καὶ ἀδύνατον κατάστασιν οὐδέποτε προσωπικῶς ἐν αὐτῇ ἐπιδημῆσαι, ἀλλὰ δι' ἐπιτρόπων διοικοῦντα ἐν τῇ *πόλει* τοῦ Βουκουρεστίου τὸν ἅπαντα χρόνον διελθεῖν δι' ἀρχιεροπραξιῶν καὶ ἄλλων λειτουργημάτων τὰ πρὸς ζωάρκειαν ἐξοικονομοῦντα ὑπερήμερον φαίνεσθαι καὶ πρὸς τὴν ἀποστολὴν τῶν αὐλικῶν διαφόρων καὶ αὐτοῦ τοῦ βασιλικοῦ ζητομερίου. Περὶ τούτων γοῦν συνοδικῶς ἡμῖν σκεπτομένοις ἤδη μετὰ τὴν πρὸς Κύριον ἐκδημίαν τοῦ διαληφθέντος ἀρχιεπισκόπου Πωγωνιανῆς κὺρ Διονυσίου καὶ τὴν κατάλληλον θεραπείαν διανοουμένοις ἐπενεγκεῖν, ἀναγκαιότατον ἔδοξεν εἰς μίαν αὐτὰς ἑνῶσαι καὶ ὑπὸ μίαν καὶ τὴν αὐτὴν τάξαι προστασίαν τοῦ κανονικῶς ἤδη θατέραν ἔτι τὴν ἁγιωτάτην μητρόπολιν Κορυτσᾶς διέποντος συναδελφοῦ ἡμῶν ἐν Χριστῷ ἀγαπητοῦ κὺρ *Βησσαρίωνος*· τὸ μὲν ὡς ἀδυνάτοις ἀμφοτέραις ταῖς ἐπαρχίαις καὶ ἐνδεῶς ἐχούσαις δύναμίν τινα καὶ συναντίληψιν διὰ τῆς φεραλλήλλου ταύτης ἑνώσεως πρυτανεύοντες, τὸ δὲ καὶ πεπεισμένοι ὄντες ὅτι διὰ τῆς ἐνούσης αὐτῷ φρονήσεως καὶ ἀξιότητος ἔχει διοικῆσαι κατὰ τὸ συμφερώτερον ἀξιοπρεπῶς καὶ ἀναδεῖξαι αὐτὴν ἐπαρχίαν λαμπρὰν ὡς πιστὸς καὶ φρόνιμος οἰκονόμος. Ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ ἐπαρχία αὕτη Πωγωνιανῆς μένῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡνωμένη μετὰ τῆς ἁγιωτάτης μητροπόλεως Κορυτσᾶς καὶ συνηρμοσμένη μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῆς, κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἐντὸς αὐτῆς καὶ τῶν ἀλλαχοῦ κειμένων καὶ εὑρισκομένων καὶ παρὰ πάντων γινώσκηται μία καὶ μόνη ἐπαρχία δεσποζομένη ὑπὸ τοῦ νῦν κυριάρχου αὐτῆς ἱερωτάτου μητροπολίτου Κορυτσᾶς καὶ Πωγωνιανῆς καὶ ὑπερτίμου ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Βησσαρίωνος καὶ τῶν μετὰ ταῦτα κανονικῶς διαδεξομένων αὐτόν, ἰθυνομένη τε καὶ διεξαγομένη ὑπὸ τῆς αὐτοῦ ἱερότητος, ὅστις ἔχει ἐπ' ἀδείας ποιμαίνειν τὸ ἐν αὐτῇ λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ ποδηγετεῖν σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καρπούμενος καὶ λαμβάνων ἀπαραμειώτως καὶ ἀνελλιπῶς καὶ πάντα τὰ ἀνήκοντα αὐτῷ εἰσοδήματα καὶ δικαιώματα κύρια καὶ τυχηρά. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν αὐτῇ τῇ ἐπαρχίᾳ Πωγωνιανῆς χριστιανοί, ἱερωμένοι καὶ λαϊκοὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς γνησίῳ καὶ κανονικῷ αὐτῶν κυριάρχῃ καὶ παρέχων εὐπειθῶς καὶ προθύμως τὰ ἀνήκοντα δικαιώματα μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος τὸ παράπαν ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ Κυρίου Παντοκράτορος. Ταῦτα ἀπεφάνθη καὶ κεκύρω-

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπολυθεὶς καὶ ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος κἂν τῷ ἱερῷ κώδικι τῶν ὑπομνημάτων καταστρωθεὶς ἐπεδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Κορυτσᾶς καὶ Πωγωνιανῆς καὶ ὑπερτίμῳ ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Βησσαρίωνι.

*Ἐν ἔτει (αωκη') κατὰ μῆνα Μάρτιον. Ἐπινεμήσεως Αηστ'.*
† Ὁ *Πατριάρχης Κωνσταντινουπόλεως* ἀποφαίνεται
† Ὁ Ἐφέσου *Μακάριος,* † ὁ Ἡρακλείας *Ἰγνάτιος,*
† Ὁ Κυζίκου *Ματθαῖος,* † ὁ Νικομηδείας *Πανάρετος*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ...

*
* *

## Τόμος ἑνωτικὸς τῶν ἐπαρχιῶν Πωγωνιανῆς καὶ Βελλᾶς εἰς μητρόπολιν Βελλᾶς καὶ Πωγωνιανῆς[1]

*† Κωνστάντιος, ἐλέῳ Θεοῦ κλπ.*

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἐστὶν ἰδεῖν τῆς ἐκκλησιαστικῆς προνοίας τὸ ἀδιάλειπτόν τε καὶ ἄγρυπνον καὶ οἵαν ἐν τοῖς ἐμπίπτουσι προβάλλεται τὴν οἰκονομίαν, πολλῷ δὲ μᾶλλον ἐν ταῖς ὑποκειμέναις αὐτῇ ἁγιωτάταις ἐπαρχίαις. Ταύτας καὶ γὰρ πρὸς τὸ εὔθετον ἀείποτε ρυθμίζειν εἴωθε, συντάττουσα διὰ τῶν ὑπεροχικῶν αὐτῆς προνομίων καὶ τῆς ὑπερτελεστάτης δυνάμεως, σκοπὸν ἔχουσα τὸ ἄνετον τῶν ἐν αὐταῖς εὐσεβῶν καὶ τὴν θεοφιλῆ πνευματικὴν αὐτῶν ἐπίσκεψιν καὶ ψυχικὴν σωτηρίαν. Τοῦτο δὲ καὶ ὁ ἀποστολικὸς ὑποτίθεται λόγος, πάντα πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν ὀφείλειν γίγνεσθαι ἀποφαινόμενος. Ἐπειδὴ τοιγαροῦν καὶ ἡ ἐπαρχία Πωγωνιανῆς, ἡ ὑπὸ τάξιν ἀρχιεπισκοπῆς ὑποκειμένη ἀνέκαθεν τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ οἰκουμενικῷ θρόνῳ, τέως μὲν διετέλει ὑπὸ τὴν προστασίαν ἰδίων αὐτῆς ἀρχιερέων, ἀποκαθισταμένων κανονικῶς, διὰ δὲ τὸ ὀλιγοπρόσοδον αὐτῆς καὶ πρὸς διαμονὴν ἰδίου ἀρχιερέως ἀνίκανον, ὑστερεῖτο ἀείποτε αὐτοπροσώπου ἀρχιερατικῆς ἐπισκέψεως, τῶν ἐν αὐτῇ κατὰ καιροὺς ἀρχιερατευόντων ἐν ἀλλοδαπῇ τὰ πρὸς τὸ ζῆν διωκόντων ἀπὸ ἀρχιεροπραξιῶν, καὶ ἀποδημίαις μακραῖς ἀνεπίσκεπτον αὐτὴν μονονοὺ καταλειπόντων, ἡ Ἐκκλησία πρὸ ἓξ ἤδη χρόνων, μετὰ θάνατον τοῦ Πωγωνιανῆς Διονυσίου, πρόνοιαν ἀξιόχρεων ποιουμένη ἐνεπιστεύσατο τὴν ἐπαρχίαν ταύτην τῷ ἱερωτάτῳ μητροπολίτῃ Κορυτζᾶς κὺρ Βησσαρίωνι, καὶ ἥνωσεν αὐτὴν τῷ ἁγιωτάτῳ αὐτοῦ μητροπόλει Κορυτζᾶς, ἐλπίσασα διὰ τῆς ἑνώσεως ταύτης παραμυθήσασθαι τοὺς ἐν ἐκείνῃ χριστιανούς, ἐν στερήσει μακρᾷ ἀρχιερατικῆς παρουσίας καὶ εὐ-

1) *Κώδ.* ΙΖ'. 262.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

λογίας διατελοῦντας καὶ συνεχῶς διὰ τοῦτο προσκλαιομένους. Ἀλλ' ἡ αὐτοῦ ἱερότης, οὐκ οἴδαμεν ὅπως, μετὰ τὴν τῆς Πωγωνιανῆς ἕνωσιν, ἀπροσφόρως πολιτευσάμενος πρὸς τοὺς ἐν αὐτῇ χριστιανούς, τρόπον τε τραχὺν καὶ ἀπᾴδοντα ἐνδειξάμενος, καὶ καταχρήσεσι καὶ ἰδιορρυθμίαις παρεκτραπείς, τὴν κοινὴν αὐτῶν ἐκίνησε δυσαρέσκειαν. Διὸ καὶ ἔκτοτε οὐκ ἐπαύσαντο δι' ἀλλεπαλλήλων ἀναφορῶν ἀγωγὰς κινοῦντες κατ' αὐτοῦ καὶ προσκλαύσεις δεινοπαθεῖς, ἃς ἡ Ἐκκλησία πολυειδῶς καταπαῦσαι προθυμηθεῖσα, οὐδὲν ἤνυσεν, ἀλλὰ καὶ ἐσχάτως τινὲς τῶν ἐκεῖ προκρίτων χριστιανῶν, παραγενόμενοι ἐνταῦθα ἐπίτηδες, καὶ κοινὰς ἀναφορὰς τῶν ἐπαρχιωτῶν χριστιανῶν συνεπιφερόμενοι, παρέστησαν ἀδύνατον τοῦ λοιποῦ τὴν ὑπὸ τῇ ἐκείνου ἱερότητι ὑποταγὴν αὐτῶν, ὡς πολλῶν σκανδάλων αὐτοῖς παραίτιον, καὶ ἐπιμόνως ἐξῃτοῦντο τὴν ἀπὸ τῆς Κορυτζᾶς ἀφαίρεσιν τῆς Πωγωνιανῆς καὶ τῆς ἑνώσεως τὴν ἀκύρωσιν, ἀνατιθέμενοι τὴν διαίτησιν καὶ οἰκονομίαν τῆς πνευματικῆς αὐτῶν διοικήσεως, ὅπως ἂν συμφερώτερον περὶ αὐτῶν τῇ Ἐκκλησίᾳ κριθείη, καὶ πρὸς κοινὴν αὐτῶν ἡσυχίαν καὶ ψυχικὴν ὠφέλειαν συμβαλλόμενον. Ταύτης τοίνυν τῆς αἰτήσεως συνοδικῶς ἐπεξεργασθείσης, καὶ διὰ τοὺς λόγους τῆς τῶν σκανδάλων καταπαύσεως, καὶ τῆς ἡσυχίας τῶν εἰρημένων χριστιανῶν, ἀποδεκτῆς φανείσης, ἔγνωμεν διαλῦσαι τὴν ὁπώσποτε γενομένην ἕνωσιν ἀτελεσφόρητον αὐτὴν τοῦ λοιποῦ κατιδόντες, προσηλῶσαι δὲ τὴν ἐπαρχίαν ταύτην Πωγωνιανῆς, ἅτε δὴ ἀδυνάτως ἔχουσαν, ὡς διείληπται, καὶ διὰ τὸ γλίσχρον καὶ ὀλιγοπρόσοδον μὴ δυναμένην ἴδιον ἔχειν ἀρχιερέα, καὶ ἑνῶσαι τῇ γειτνιαζούσῃ καὶ ἀμέσως αὐτῇ συνημμένῃ ἐπαρχίᾳ Βελλᾶς, ὑποκειμένῃ τέως τῇ ἁγιωτάτῃ μητροπόλει Ἰωαννίνων, τά τε ἄλλα καὶ διὰ τὴν ἐπὶ τούτῳ εὐχάριστον συγκατάθεσιν τῶν εἰρημένων ἐπαρχιωτῶν χριστιανῶν, εἰδότων ἐκ τοῦ σύνεγγυς τὴν θεάρεστον καὶ εἰρηνικὴν ποιμαντορίαν καὶ θεοφιλῆ πνευματικὴν διοίκησιν τοῦ ἐν αὐτῇ ἀρχιερατικῶς προϊσταμένου θεοφιλεστάτου ἐπισκόπου Βελλᾶς κὺρ Ἰωσήφ, ἀνδρὸς κοσμίου καὶ ἀρχιεροπρεποῦς, παιδείᾳ τε κεκοσμημένου, ἐθάδος τῶν ἐκεῖσε ἠθῶν καὶ ἐθῶν, ζηλωτοῦ τῶν καλῶν, καὶ διὰ μακροῦ ἤδη πεῖραν ἐντελῆ τῆς εὐαρέστου αὐτοῦ ἀρχιερατείας παρασχόντος. Ἔνθεν τοι κοινῇ καὶ συνοδικῇ διαγνώμῃ ἀποφανθέντες εἰς μίαν αὐτὰς ἑνωθῆναι ἀμφοτέρας, καὶ ὑπὸ τὴν αὐτὴν ταχθῆναι προστασίαν τοῦ διαληφθέντος ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Ἰωσήφ, ἔγνωμεν συγχρόνως τιμῆσαι καὶ προβιβᾶσαι εἰς μητρόπολιν τὴν ἐπαρχίαν ταύτην Βελλᾶς καὶ Πωγωνιανῆς, κατὰ φιλοτιμίαν ἐκκλησιαστικὴν ἀναγκαίαν καὶ συμφέρουσαν τῇ πνευματικῇ αὐτῆς διοικήσει, οὐ καινοτομοῦντες, ἀλλὰ καὶ πολλοῖς τοῖς παραδείγμασιν ἑπόμενοι, ὅσα εὕροι τις ἂν ἐν τοῖς ἀρχείοις καὶ ἐν ταῖς τῶν καθ' ἡμᾶς χρόνων διατυπώσεσι περὶ τῶν προβιβασθεισῶν ἢ ὑποβιβασθεισῶν μητροπόλεων, ἀρχιεπισκοπῶν τε καὶ ἐπισκοπῶν. Αὐτίκα γοῦν τὰ Ἰωάννινα αὐτά, ἐπισκοπὴ τῆς Ναυπάκτου ὄντα τὸ πάλαι εἰς μητρόπολιν προεβιβάσθη, καὶ ἄλλαι οὐκ εὐάριθμοι τῶν ἐπαρχιῶν κατὰ καιροὺς εἰς τὸ μεῖζον ἢ ἔλατ-

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

τον τοῖς ὁρίοις καὶ τοῖς βαθμοῖς μετεβλήθησαν. Τὸ μὲν γὰρ τῆς ὑπερφυοῦς δυνάμεως θεῖον καὶ ἀεὶ ὡσαύτως ἔχον, πρόσεστι τοῖς ἀρχιερεῦσι, τὰ δὲ ὅρια καὶ αἱ τάξεις, οἷα δὴ ἀνθρώπινα, ἄλλοτε ἄλλως μεταβαλλόμενα καθορᾶται διὰ τοὺς ἐνοικοῦντας χριστιανούς, ἢ τοὺς προϊσταμένους ἀρχιερεῖς. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς ἵνα, τῶν εἰς χεῖρας τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου Κορυτζᾶς κὺρ Βησσαρίωνος περὶ τῆς ἑνώσεως τῆς Πωγωνιανῆς μετὰ τῆς ἐπαρχίας αὐτοῦ Κορυτζᾶς ἐκκλησιαστικῶν γραμμάτων ἀκύρων μενόντων καὶ ἀνισχύρων, διὰ τοὺς ἐκτεθέννας λόγους, καὶ ὡς χάρτης ἄγραφος λογιζομένων, ἡ ῥηθεῖσα ἐπαρχία Πωγωνιανῆς μένῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡνωμένη ἀδιαλύτως μετὰ τῆς ἐπαρχίας Βελλᾶς, καὶ συνηρμοσμένη μετὰ πάντων τῶν προνομίων αὐτῆς καὶ τῶν κτημάτων, καὶ πραγμάτων, καὶ ἀφιερωμάτων, καὶ παρὰ πάντων γινώσκωνται αὗται μία καὶ μόνη ἐπαρχία καὶ *μητρόπολις*, ὑποτασσομένη ἀμέσως πρὸς τὸν καθ' ἡμᾶς ἁγιώτατον πατριαρχικὸν καὶ οἰκουμενικὸν Θρόνον, ὥσπερ καὶ αἱ λοιπαὶ μητροπόλεις, δεσποζομένη, ἰθυνομένη τε καὶ διεξαγομένη κανονικῶς ὑπὸ τοῦ ἤδη ἐν αὐτῇ ἀρχιερατεύοντος ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Ἰωσήφ, ὅστις ἔχει τὸ προνόμιον τοῦ λέγεσθαι καὶ γράφεσθαι *Ἱερώτατος Μητροπολίτης Βελλᾶς καὶ Πωγωνιανῆς καὶ ὑπέρτιμος*, ὥσπερ δὴ καὶ οἱ μετ' αὐτὸν διάδοχοι τῆς μητροπόλεως ταύτης, ἔχων τὴν τάξιν αὐτοῦ καὶ ἕδραν ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσιν, εἰ οὕτω τύχοι, ἀμέσως μετὰ τοὺς ἄλλους μητροπολίτας, τοὺς ἔκπαλαι ὑποκειμένους τῷ οἰκουμενικῷ Θρόνῳ, ἔχῃ δὲ ἐπ' ἀδείας ἡ αὐτοῦ ἱερότης ποιμαίνειν τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ ποδηγετεῖν σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν τοὺς ἐν αὐτῇ εὐλογημένους χριστιανούς, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καρπούμενος καὶ λαμβάνων ἀπαραμειώτως καὶ ἀνελλιπῶς πάντα τὰ ἀνήκοντα αὐτῷ εἰσοδήματα καὶ δικαιώματα κύρια καὶ τυχηρά. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ ἐπαρχίᾳ Πωγωνιανῆς ἱερωμένοι καὶ λαϊκοὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ, ὡς γνησίῳ καὶ κανονικῷ αὐτῶν κυριάρχῃ καὶ παρέχειν εὐπειθῶς καὶ προθύμως πάντα τὰ ἀνήκοντα τῇ αὐτοῦ ἱερότητι εἰσοδήματα καὶ δικαιώματα, κύρια καὶ τυχηρά, μηδενὶ ἐναντιούμενοι τὸ παράπαν, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ Κυρίου Παντοκράτορος. Ταῦτα ἀπεφάνθη, καὶ κεκύρωται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος, καταστρωθεὶς κἀν τῷ ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Βελλᾶς καὶ Πωγωνιανῆς, καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ κὺρ Ἰωσήφ.

*Ἐν ἔτει αωλδ' κατὰ μῆνα Μάϊον, Ἐπινεμήσεως Ζ'.*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

## Τόμος διαλύσεως τῆς ἐπαρχίας Πωγωνιανῆς καὶ συγχωνεύσεως μετὰ τῶν γειτόνων ἐπαρχιῶν Κορυτσᾶς καὶ Βελλᾶς [4].

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ

† Ἰωακείμ, ἐλέῳ Θεοῦ κλπ.

Τῶν πραγμάτων, ὥσπερ τὰ καλῶς βαίνοντα, καὶ εἰς ὃ προώρισται τέλος ἀπευθυνόμενα, συνέχειν ἀπαραποίητα καὶ συντηρεῖν, οὕτω τἀναντίον τὰ τῆς οἰκείας ἐνεργείας ἐκπίπτοντα, καὶ ἧς ἐκλήθη τάξεως ἐκτρεπόμενα, καταλύειν καὶ ματαιοῦν ἐπάναγκες τοῖς γε νοῦν ἔχουσι καὶ τὴν ὄνησιν ἀντὶ βλάβης θηρεύουσι καὶ προαιρουμένοις. Τοῦτο δὲ κἂν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν ἀνέκαθεν ἐνεργούμενον καθορᾶται, ἐν οἷς ὁ λόγος οὐ περὶ δογμάτων, ἄπαγε, καὶ μυστηρίων ἱερῶν, καὶ τῶν ὅλως ἀθίκτων καὶ ἀναλλοιώτων τῆς πίστεως ὅρων καὶ θεσμῶν, ἀλλὰ περὶ τάξεως καὶ καταστάσεως τῶν ἐπαρχιῶν, ὅπου πλείστας ἂν ἴδοι τις τὰς μεταβολὰς ἐν διαφόροις καιροῖς πρὸς τὴν ἀνάγκην καὶ τὰς περιστάσεις γεγεννημένας προνοίᾳ ἀξιοχρέῳ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἀείποτε καὶ ἐν παντὶ τὴν ψυχικὴν ὠφέλειαν τῶν πιστῶν πρὸ ὀφθαλμῶν τιθεμένης, καὶ τὰ μᾶλλον αὐτοῖς πρὸς σωτηρίαν συμβαλλόμενα κατορθούσης διὰ τῶν τοιούτων μεταρρυθμίσεων κατὰ τὸ ἀποστολικὸν «πάντα πρὸς οἰκοδομὴν γινέσθω καὶ καταρτισμόν». Τοῦτο δὴ καὶ ἡμεῖς ἤδη ἐπὶ τοῦ παρόντος ποιούμεθα. Καὶ γὰρ ἡ ἐπαρχία Πωγωνιανῆς, ἡ ἐκ τῶν ἀνέκαθεν ὑποκειμένων τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ Οἰκουμενικῷ Θρόνῳ, καίτοι, καθὰ καὶ αἱ λοιπαὶ ἐπαρχίαι, διατελοῦσα ἐς δεῦρο ὑπὸ τὴν διαδοχικὴν προστασίαν ἀρχιερέων ἀποκαθισταμένων κανονικῶς, ἀπὸ ἱκανῶν μέντοι χρόνων κατεφάνη ἀδυνάτως ἔχουσα εἰς διατροφὴν ἰδίου ἀρχιερέως διὰ τὸ εὐτελὲς καὶ πάνυ ἀφαυρὸν τῶν ἀρχιερατικῶν προσόδων αὐτῆς· μόλις καὶ γὰρ συνίσταται ἐκ χωρίων τινῶν σμικρῶν, ὑπ' ὀλιγίστων χριστιανῶν κατοικουμένων, καὶ τούτων πτωχῶν καὶ ἀπόρων, καὶ τὸ πλεῖστον ἀποδημούντων ἐν ἀλλοδαπῇ μὴ ἔχουσα παρὰ ταῦτα οὔτε μητρόπολιν, οὔτε τόπον κατάλληλον, οὔτε κωμόπολιν καὶ κατοικίαν ἀρχιερέως. Συνέβαινε γοῦν τοὺς κατὰ καιρὸν ἀρχιερεῖς Πωγωνιανῆς ὀνόματι μόνον αὐτῆς προΐστασθαι, τῷ πράγματι δὲ διὰ τὰς ἀνωτέρω στερήσεις τῶν ἀπολύτων ὡς εἰπεῖν ἀναγκῶν, ἀποκνέοντας μήτε ἐπιδημεῖν ὅλως ἐν αὐτῇ (ἐκτὸς τῶν ἐν τοῖς μεταξὺ χρόνοις προνοίᾳ ἐκκλησιαστικῇ πρὸς παραμυθίαν τῶν χριστιανῶν ἀναλαβόντων τὴν ἐπαρχίαν ταύτην πλησιοχώρων ἀρχιερέων Κορυτζᾶς καὶ Βελλᾶς), ἀλλὰ μακρὰν καὶ ἐν ξένοις τὰ τοῦ βίου ἐπιζητοῦντας, τὸν ἅπαντα χρόνον ἐν Βουκουρεστίῳ διατρίβειν, ποριζομένους μὲν καὶ ἀπὸ ἀρχιεροπραξιῶν, ἀπολαμβάνοντας δὲ καὶ τὰ εἰσοδήματα τοῦ ἐκεῖ χανίου, Γραῖτζι καλουμένου, ἀρχαίου κτήματος τῆς ἐπαρχίας ταύ-

4) *Κώδ*. ΚΘ'. 143.

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

της, καὶ παρὰ ταῦτα ὠφελουμένους καὶ ἀπὸ τῶν ἐν Βλαχίᾳ κτημάτων τοῦ Ἱεροῦ Σταυροπηγιακοῦ Μοναστηρίου τῆς Μολυβδοσκεπάστου. Τοῦτο γὰρ ἐπειδὴ ἐκ τῶν περιστάσεων καὶ ἐξ ἀμελείας τῶν κατὰ καιροὺς ἡγουμένων ἀνωμάλως διέκειτο, καίτοι εὐπροσόδοις Μετοχίοις ἐν Βλαχίᾳ κειμένοις συγκεκροτημένον, ἤτοι τῷ Ἱερῷ Μοναστηρίῳ τοῦ ἁγίου Δημητρίου Πράδοι καὶ τῇ Σκήτῃ Κοδριένι, πεπροικισμένοις ἀμφοτέροις μετὰ μωσιῶν καὶ ἀκινήτων κτημάτων, προνοίᾳ ἐκκλησιαστικῇ κατὰ τὸ παρελθὸν ͵αωμη΄ σωτήριον ἔτος συνήνωται τῇ ἐπαρχίᾳ Πωγωνιανῆς δι' ἐκκλησιαστικοῦ Σιγιλλίου Γράμματος ὑπὸ ὅρους ἐπωφελεῖς ἐν κεφαλαίοις ἐκτεθειμένους, ὅπως δηλ. τὰ ὑπὸ τῶν κτημάτων τῶν ἐν Βλαχίᾳ εἰρημένων Μετοχίων ἀποφερόμενα πρωτίστως μὲν δαπανῶνται εἰς εὐστάθειαν καὶ εὐπρέπειαν τῶν ἱερῶν αὐτῶν σκηνωμάτων, καὶ εἰς σύστασιν καὶ συντήρησιν κοινῆς σχολῆς ἐν τῇ ἐπαρχίᾳ Πωγωνιανῆς ἐπὶ διδασκαλίᾳ καὶ ἐκπαιδεύσει τῆς ἐγχωρίου νεολαίας, χρησιμεύωσι δὲ καὶ πρὸς ἄνεσιν καὶ περίθαλψιν τῶν κατὰ καιροὺς ἀρχιερέων Πωγωνιανῆς. Ἀλλ' οὐδὲν ἧττον καὶ μετὰ τὰς παραχωρήσεις ταύτας ἡ αὐτὴ ἐπὶ χρόνους μακροὺς ἐπεκράτει κατάστασις τῶν πνευματικῶν πραγμάτων τῆς ἐπαρχίας ταύτης. Ἐφ' ᾧ καὶ ἀναφορὰς συνεχεῖς τῶν ἐπαρχιωτῶν χριστιανῶν διὰ τὴν τῶν ἀρχιερέων αὐτῶν στέρησιν καὶ ἀπουσίαν, καὶ προσκλαύσεις δεινὰς σπουδαίας πολλάκις παρέσχον τῇ Ἐκκλησίᾳ ἀφορμὰς εἰς ἀναγκαιοτάτην τοῦ πράγματος θεραπείαν. Ἐῶμεν λέγειν, ὅση προέκυπτεν ἡ περὶ τὰ θρησκευτικὰ καὶ κανονικὰ ἐφάμαρτος κατάχρησις, ἀμοιροῦντα ἀμέσου ἀρχιερατικῆς ἐπιβλέψεως καὶ διοικήσεως, καὶ ἀναξίοις ἐπιτρόποις ἐμπιστευόμενα. Ἐπεὶ δέ, τοῦ πρὸ ἑπτὰ ἤδη χρόνων ἐν τῇ ἐπαρχίᾳ ταύτῃ διορισθέντος κανονικῶς, ἔκτοτε δὲ ἐν Βουκουρεστίῳ μεταβάντος καὶ διαμένοντος Πωγωνιανῆς κὺρ *Παναρέτου* διὰ τὸ ἐν διαφόροις ἀποφάσεσι καὶ ὑπεκφυγαῖς ἀποποιηθῆναι τὴν ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ ταύτῃ προσωπικὴν ἀπέλευσιν, καίτοι πολλῶν καὶ ἐπιμόνων αὐτῷ προτροπῶν ἐκκλησιαστικῶν γενομένων ἐπί τε τοῦ παναγιωτάτου προκατόχου ἡμῶν καὶ ἐφ' ἡμῶν πολλάκις, παυθέντος ἀπ' αὐτῆς καὶ ἐκπτώτου γενομένου συνοδικῇ ἀποφάσει, τὰ τῆς ἐπαρχίας ταύτης διέμειναν ἀπροστάτευτα, καὶ ἀρχιερατικῆς ἐπισκέψεως ὅλως ἐστερημένα, οὐ μὴν δ' ἀλλὰ καὶ κατὰ τὰ ὁρισθέντα καὶ διατυπωθέντα ὑπὸ τῆς πρὸ τεσσάρων ἤδη χρόνων συγκροτηθείσης ἐθνικῆς προσωρινῆς συνελεύσεως διὰ τῶν ἐκδοθέντων καὶ βασιλικῶς ἐπικυρωθέντων Κανονισμῶν αὐτῆς, συνεπείᾳ δὲ τούτων καὶ δι' ἐκκλησιαστικοῦ Σιγγιλίου Γράμματος ἀρτίως ἐκδοθέντος, ἐπειδὴ τὸ ῥηθὲν ἱερὸν Μοναστήριον τῆς Μολυβδοσκεπάστου μετὰ τῶν ἐν Βλαχίᾳ Μετοχίων καὶ τῶν κτημάτων αὐτῶν, συνήνωται καὶ προσηλώθη τῷ καθ' ἡμᾶς Ἁγιωτάτῳ Οἰκουμενικῷ Θρόνῳ, τότε δὴ ἀναγκαιοτάτη κατεφάνη ἡ ἐπὶ τῇ οὐσιώδει ταύτῃ ἀποφάσει ὀφειλετικὴ τῆς Ἐκκλησίας μέριμνα, καὶ σκέψεις ἐγένοντο συνοδικῶς καὶ μετὰ τοῦ Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου, πῶς ἂν εἴη οἰκονομηθῆναι καὶ διατεθῆναι λυσιτελέστερον καὶ συμφερώτε-

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΚΑΔΗΜΑΙΚΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΛΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ρον τὰ τῆς πνευματικῆς καταστάσεως τῶν εἰρημένων χριστιανῶν, μηδεμιᾶς ἐλπίδος μοναστηριακῶν πόρων ἢ ἄλλης τινὸς γενναίας καὶ ἐπαρκούσης τῷ ἀρχιερεῖ αὐτῶν ὑποστηρίξεως ὑπολειπομένης, πρωτίστως μὲν δεομένῳ κατοικίας καὶ μητροπόλεως καὶ τόπου τοῦ προσήκοντος, ἀναντιρρήτου δὲ ὄντος ὡς οὐδὲ ταύτην κατορθωθῆναι δυνατόν, οὐδὲ πρὸς τὴν ὀλιγότητα τῶν κατοίκων καὶ τὴν ἀπορίαν φορητὴ ἔσεται καὶ ἡ ἐλαχίστη γοῦν ἀρχιερατικὴ ἐτησία ἐπιχορήγησις κατὰ τὸ γενικὸν μέτρον τὸ ἐν ἁπάσαις ταῖς ἐπαρχίαις ἐφαρμοσθέν. Περὶ τούτων τοίνυν διὰ μακροῦ, ὡς εἴρηται, ἀπασχολούντων τὴν ἐκκλησίαν διασκεπτομένοις καὶ ἤδη αὖθις μετά τε τῆς ἁγίας καὶ Ἱερᾶς Συνόδου καὶ τοῦ Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου, λόγων τε πολλῶν καὶ ἐμβριθῶν προστεθέντων, ὡς ἐν τοῖς συνοδικοῖς καὶ ταῖς τοῦ ῥηθέντος Συμβουλίου πρακτικοῖς καθορᾶται, ἔδοξε κοινῇ καὶ συνοδικῇ διαγνώσει, τῶν πραγμάτων οὕτως ὑπαγορευόντων, καὶ μονονοὺ φωνὴν ἀφιέντων, διαλυθῆναι τὴν μητρόπολιν ταύτην Πωγωνιανῆς, καὶ τὰ μὲν συγκροτοῦντα τέως αὐτὴν χωρία, ἤτοι ἐν μὲν τῷ Καζᾷ Πωγωνιανῆς: Ὀστανίτζα, Διπαλίτζα, Βλάχους, Βαλοβίστα, καὶ Μπογωνιτζκόν, ἐν δὲ τῷ Καζᾷ τῆς Κονίτζης: Σανοβόν, Μάξον, Δερβένι, Πιλθοῦκι, Κούκεσι, Μπομπίτζικον, Λεσκοβίκι, Τζάρτζικον, Μελεσίνι, Σεργιανή, Περάτι, Μελισσόπετρα καὶ Πιροβίτζα, ἐν δὲ τῷ Καζᾷ Πρεμετῆς: Βλιάσοβον, Ποστένιανη, Ραδίχοβον Τζαρίσοβον, Ἡλιάρι, Μερτζάκι, Ζέπη, Δράτζοβον, Κανικόλι καὶ Πουλούμπαρι ἀπονεμηθῆναι τῇ πνευματικῇ προστασίᾳ τῶν μᾶλλον γειτνιαζόντων ἀρχιερέων, ὧν ταῖς ἐπαρχίαις καὶ πολιτικῶς κατὰ νομοὺς (Καζάδες) συνέχονται ὑπαγόμενα, τὰ μὲν τῇ ἐπαρχίᾳ Κορυτσᾶς, τὰ δὲ τῇ τῆς Βελλᾶς, (διαιρεθείσῃ ἤδη ἀπὸ τῆς ἐπαρχίας Ἰωαννίνων δι' ἐκκλησιαστικῆς Πράξεως κατεστρωμένης ἐν τῷ ἐκκλησιαστικῷ κώδικι καὶ ἐπανακληθείσῃ εἰς τάξιν ἐπισκοπῆς ὑπὸ τὴν τῶν Ἰωαννίνων μητρόπολιν, ὡς ὑπῆρχεν ἀνέκαθεν), τὸ δὲ ἐν Βλαχίᾳ κείμενον χάνι Γραΐτζι, κτῆμα ὂν τῆς ἐπαρχίας ταύτης Πωγωνιανῆς μετά τε τοῦ ἐν αὐτῷ Ἱεροῦ Ναοῦ τιμωμένου ἐπὶ τῇ Γεννήσει τοῦ Κυρίου ἡμῶν, καὶ τῶν λοιπῶν κτημάτων αὐτοῦ προσηλωθῆναι καὶ συνενωθῆναι τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ Οἰκουμενικῷ Θρόνῳ, συνῳδὰ καὶ τῇ ἐννοίᾳ τοῦ Β'. ἄρθρου τοῦ περὶ ἐπιχορηγήσεων Κανονισμοῦ. Ὅτι δὲ ἡ πνευματικὴ αὕτη διαίτησις καὶ οἰκονομία πρὸς τὸ μηδένα φέρειν καινοτομίας ἔλεγχον, μόνης δὲ προνοίας σωτηριώδους ἐκκλησιαστικῆς ἔργον τυγχάνουσα κατὰ τὴν τοῦ καιροῦ καὶ τῶν πραγμάτων φοράν, συνίσταται καὶ διὰ παραδειγμάτων τρανωτάτων, ἀπόχρη διεξελθεῖν τὰ ἐκκλησιαστικὰ συνταγμάτια, ὅπου μυρίας ὅσας τῶν πάλαι ἐπαρχιῶν ἴδοι τις ἂν ἐκλελοιπυίας τὸ σύνολον, τοῖς αὐτοῖς λόγοις πάντως καὶ περιστάσεσιν ὑποκυψάσας. Ἔνθεν τοι τὴν πρᾶξιν ταύτην ὡς εὔλογον καὶ σωστικὴν καὶ ἀναγκαιοτάτην ἐγκριθεῖσαν καὶ ἐπιδοκιμασθεῖσαν κοινῇ ὁμοφώνῳ γνώμῃ ἡμῶν τε καὶ τῆς περὶ ἡμᾶς ἁγίας καὶ ἱερᾶς Συνόδου καὶ τοῦ Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου, δεῖν ἔγνωμεν κατοχυρῶσαι, κρατῦναί τε καὶ ἐμπεδῶ-

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

σαι καὶ διὰ τοῦδε τοῦ Πατριαρχικοῦ ἡμῶν καὶ Συνοδικοῦ Τόμου, ἐν τῷ ἐκκλησιαστικῷ Κώδικι καταχωρουμένου, εἰς διηνεκῆ καὶ ἀμεταποίητον ἐνέργειαν. Καὶ δὴ γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα καὶ ὁρίζομεν, ἵνα τῆς τέως ὑπαρξάσης μητροπόλεως Πωγωνιανῆς ἄρδην καταλυομένης διὰ τοὺς ἀναντιρρήτους ἐκτεθέντας λόγους, ὥστε μὴ ὑπάρχειν αὐτὴν μήτε λέγεσθαι καὶ φέρειν τάξιν καὶ ὄνομα μητροπόλεως, τὸ μὲν ῥηθὲν χάνι Γραῖτζι μετὰ τοῦ ἐν αὐτῷ ἱεροῦ Ναοῦ τῆς Γεννήσεως τοῦ Κυρίου ἡμῶν καὶ μετὰ τῶν λοιπῶν αὐτοῦ πραγμάτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προστεθησομένων, ὑπάρχῃ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς, καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται προσηλωμένον ὁλοσχερῶς καὶ συνηνωμένον ἀδιασπάστως τῷ Ἁγιωτάτῳ Πατριαρχικῷ Οἰκουμενικῷ Θρόνῳ, κτῆμα καὶ πρᾶγμα αὐτοῦ ἀναφαίρετον ὑπάρχον καὶ λογιζόμενον εἰς τὸ διηνεκές, τὰ δὲ ἀποτελοῦντα αὐτὴν πρότερον χωρία ὑπάρχωσι τὰ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον καὶ διατελῶσιν ἐς ἀεὶ συνηνωμένα ἀδιασπάστως καὶ προσηλωμένα ταῖς ἐφεξῆς γειτνιαζούσαις αὐτοῖς ἐπαρχίαις, μεθ' ὧν καὶ πολιτικῶς συνδέονται, ἤτοι τὰ μὲν δεκαοκτώ, ἐξ ὧν τὰ πέντε Ὀστανίτζα, Σιπαλίτζα, Βλάχους, Βελοβίστα καὶ Μπογωνιτζκὸν κεῖνται ἐν τῷ Καζᾷ Πωγωνιανῆς, τὰ δὲ δεκατρία, Σανοβόν, Μάξου, Δερβένι Πιλθοῦκι, Κούκεσι, Μπομπίτζικον, Λεσκοβίκι, Τζάρτζικον, Μελεσίνι, Σεργιανί, Περάτι, Μελισσόπετρα, καὶ Προβίτζικα ἐν τῷ Καζᾷ τῆς Κονίτζης, ταῦτα ὦσιν ἐς ἀεὶ προσηλωμένα τῇ ἐπισκοπῇ Βελλᾶς καὶ Κοννίτζης, τὰ δὲ ἐννέα, ἤτοι Βλιάσοβον, Ποστένιανη, Ραδίχοβον, Τζαρίσοβον, Ἠλιάρι, Μερτζάκι, Ζέπο, Δράτζοβον, Κανικόλι καὶ Πουλούμπαρι, κείμενα ἐν τῷ Καζᾷ Πρεμετῆς, ὦσι προσηλωμένα τῇ μητροπόλει Κορυτζᾶς, γνωριζόμενα καὶ λογιζόμενα μέλη τῶν ἐπαρχιῶν τούτων, κατ' οὐδὲν τῶν λοιπῶν ἀρχαιόθεν αὐταῖς ὑποκειμένων χωρίων διαφέροντα, συμπληροῦντά τε ὁλοσχερῶς καὶ συναποτελοῦντα ὁμοῦ τὸ σύνολον ἑκάστης αὐτῶν, καὶ πνευματικῶς διοικούμενα καὶ διεξαγόμενα ὑπὸ τὴν κυριαρχικὴν δικαιοδοσίαν τῶν κατὰ καιροὺς ἀρχιερέων αὐτῶν, καὶ τὴν παρ' αὐτῶν ἀρχιερατικὴν καὶ πατρικὴν προστασίαν ἀπολαμβάνοντα ἐν χριστιανικῇ ἀφοσιώσει καὶ υἱϊκῇ εὐπειθείᾳ τῶν ἐγκατοίκων ὀρθοδόξων χριστιανῶν, ἱερωμένων καὶ λαϊκῶν, πρὸς τοὺς κατὰ καιροὺς γνησίους τούτους πνευματικοὺς αὐτῶν προστάτας καὶ κυριάρχας καὶ νομίμους ἀρχιερεῖς, οἷς δὴ ὀφειλὴ ἐπίσης ἐπίκειται ἀπαραίτητος ποιμαίνειν εὐαγγελικῶς καὶ προΐστασθαι πνευματικῶς ἕκαστος τοὺς ἐν τῇ ἀπονεμηθείσῃ τῇ ἐπαρχίᾳ αὐτοῦ χωρίοις κατοίκους εὐλογημένους χριστιανούς, ἴσα καὶ τοῖς λοιποῖς ἐπαρχιώταις αὐτῶν, προστατεύειν τε αὐτῶν ἐν ταῖς ἐμπιπτούσαις ἐπαρχιακαῖς ὑποθέσεσι, καὶ συνελόντι εἰπεῖν κήδεσθαι παντοίως καὶ προσπαθεῖν ἀόκνως ὑπέρ τε τῆς πνευματικῆς αὐτῶν ἀνέσεως καὶ ὠφελείας καὶ τῆς ἠθικῆς προόδου καὶ βελτιώσεως. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ἐφ' ᾧ καὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ὁ παρὼν ἡμέτερος Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος ἐγένετο καταστρωθεὶς ἐν τῷδε τῷ ἱερῷ Κώδικι τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης 'Εκκλησίας εἰς διηνεκῆ ἔνδειξιν καὶ μόνιμον παράστασιν.

*'Εν ἔτει Σωτηρίῳ αωξγ'. κατὰ μῆνα Μάϊον, ἐπινεμήσεως στ'.*

† *'Ο Πατριάρχης Κωνσταντινουπόλεως* ἀποφαίνεται

† ὁ 'Εφέσου *Παΐσιος*, † ὁ 'Ηρακλείας *Πανάρετος*, † ὁ Πρόεδρος Καρπάθου *Μεθόδιος*, † ὁΛαρίσσης *Στέφανος*, † ὁ "Αρτης *Σωφρόνιος*, † ὁ Μυτιλήνης *Μελέτιος*, † ὁ Μελενίκου *Διονύσιος*, † ὁ . . . . † ὁ Ρασκοπρεσρένης . . . . † ὁ Βελεγράδων *'Ανθιμος*, † ὁ Γρεβενῶν *'Αγάπιος*, † ὁ Σισανίου *Μελέτιος*.

⁂

*Γαβριήλ*, πιθανῶς πρὸ τοῦ *'Αρσενίου*[5].

*'Αρσένιος*, τῷ 1590[6].

*'Ανθιμος*, ὡς πρ. Πωγωνιανῆς, κατὰ 'Ιανουάριον 1620[7].

*Συμεὼν* ὑποβαλὼν «παραίτησιν οἰκειοθελῆ καὶ ἀβιάστον», τῇ 28 Φεβρ. 1620, «διὰ τὸ μὴ εἶναι ἱκανὸν ἐξοικονομῆσαι τὰ τῆς ἀρχ/πῆς Πωγωνιανῆς διὰ τὰς συχνὰς καὶ πολλὰς αὐτοῦ ἀσθενείας»[8].

*Σωφρόνιος*· τούτου «ἀποθανόντος»—ἐξελέγη (2 Φεβρ. 1643) «ὁ ὁσιώτατος ἱερομόν. κὺρ *Παρθένιος*»[9].

*Παρθενίου* «φυσικῷ θανάτῳ ἀποθανόντος»—ἐξελέγη (1660) «ὁ πανοσιώτ. ἐν ἱερομον. καὶ πνευματικοῖς κὺρ *Δανιήλ*»[10].

*Δανιὴλ* «καθαιρέσει τελείᾳ καθυποβληθέντος»—ἐξελέγη (Ν/βρ. 1666) «ὁ πανοσιώτ. ἐν ἱερομον. *Νεκτάριος*»[11].

*Μανασσῆς*, ἀρχιερατεύσας κατὰ τὸ ἐν τῷ μεταξὺ 1667—1673 διάστημα[12].

*Μαλαχίου*[13] «τῶν τῇδε ἀπάραντος καὶ πρὸς τὰς οὐρανίους μονὰς μεταστάντος»—ἐξελέγη (1 Μαρτ. 1702) «ὁ ὁσιώτατος ἐν ἱερομ. κὺρ *Εὐθύ-*

---

5) *Κ. Σάθα* βιογραφ. σχεδ. περὶ 'Ιερεμίου Β'. ὡς ἀνωτ. σ. ϟδ'.—Le Quien ὡς ἀνωτ. 93.

6) Reg. ὡς ἀνωτ. σ. 90.

7) *Νομ. Συναγ.* σ. 206.—*Σάθα* Γ'. 561.

8) *Κωδ.* Π. 'Αρχειοφ. Β'. 8.—*Α. Κεραμέως* ἱερ. βιβλ. Δ'. 8.

9) *Ν. Συναγ.* 123.—*Σάθα* Γ'. 576.

10) *Ν. Συν.* 236.—*Σάθα* Γ'. 584.

11) *Ν. Συν.* 222.—*Σάθα* Γ'. 598.

12) *Δελικάνη* Γ'. 181.

13) *Κώδ.* Κριτίου Α'. 556.—*Δελικάνη* Γ'. 374.—*Δελτίον* κλπ. Γ'. 472.—Πρβλ. καὶ *Παράρτημα* Κ—ΚΒ'. τόμ. Ε. Φ. Συλλόγου σ. 99.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008